τὸ φιλοσοφεῖν τὸ γινώσκειν ἃ δεῖ περὶ θεῶν, ⟨ἅ⟩, κἂν
λανθάνῃ πάντας ἀνθρώπους, | ἴδιον σέλας ἔχει καὶ φέγγος 528
ἐν τῇ ψυχῇ μέγα καὶ χαρὰν ποιεῖ σύνοικον αὐτῇ δι'
ἑαυτῆς ἀντιλαμβανομένῃ τἀγαθοῦ, ἄν τ' ἴδῃ τις ἄν τε
λανθάνῃ καὶ θεοὺς καὶ ἀνθρώπους ἅπαντας. τοιοῦτόν
ἐστιν ἀρετὴ ἀλήθεια μαθημάτων κάλλος [τε] γεωμετρι-
κῶν ἀστρολογικῶν· ὧν τίνι τὰ τοῦ πλούτου φάλαρα ταῦτα
καὶ περιδέραια καὶ ἀνθίσματα κορασιώδη παραβαλεῖν
ἄξιον; μηδενὸς ὁρῶντος μηδὲ προσβλέποντος ὄντως τυφ-
λὸς γίνεται καὶ ἀφεγγὴς ὁ πλοῦτος. μόνος γὰρ ὁ πλούσιος
δειπνῶν μετὰ τῆς γυναικὸς ἢ τῶν συνήθων οὔτε ταῖς
θυίναις παρέχει πράγματα τραπέζαις οὔτε τοῖς χρυσοῖς
ἐκπώμασιν ἀλλὰ χρῆται τοῖς προστυχοῦσι, καὶ ἡ γυνὴ B
ἄχρυσος καὶ ἀπόρφυρος καὶ ἀφελὴς πάρεστιν· ὅταν δὲ
σύνδειπνον, τουτέστι πομπὴ καὶ θέατρον, συγκροτῆται καὶ
δρᾶμα πλουσιακὸν εἰσάγηται, 'νηῶν δ' ἔκφερε λέβητάς τε
τρίποδάς τε' (Ψ 259), τῶν τε λύχνων αἱ θῆκαι περισμῶν-
ται, τὰς κύλικας ἀλλάσσουσι, τοὺς οἰνοχόους μεταμφιεν-